θ, φ, χ· τρία δὲ μέσα· οἷον β, γ, δ. τὸ γὰρ β, μέσον ἐστὶ τοῦ π, καὶ φ· τὸ δὲ γ, μέσον τοῦ κ, καὶ τοῦ χ. τὸ δὲ δ, μέσον τοῦ τ, καὶ τοῦ θ. Λέγονται δὲ μέσα ταῦτα τὰ τρία, ὅτι τῶν δασέων εἰσὶ ψιλότερα, τῶν δὲ ψιλῶν δασύτερα. καὶ ταῦτα μὲν δὴ διὰ τὴν ὁμοιότητα ἑαυτῶν τὴν κατὰ φύσιν, ὁλόλως, καὶ πολλάκις ἀντὶ ἀλλήλων λαμβάνονται.

Τὰ μὲν γὰρ ψιλὰ μεταβάλλονται, καὶ μεταστρέπονται εἰς δασέα, ὁπότε ἐπὶ τῆς τελευταίας συλλαβῆς εὑρεθέντων αὐτῶν, τῆς ἑπομένης λέξεως ἀρχομένης ἀπὸ φωνήεντος δασυνομένου, γίνεται ἔκθλιψις. ὡς ἐν τῷ κατὰ ἡμᾶς, ἐκθλίψει, καὶ ἐκβολῇ τοῦ α, καὶ τροπῇ τοῦ τ, εἰς θ, γίνεται καθ᾽ ἡμᾶς. Ὁμοίως ἐν τῷ ἐπὶ ἡμᾶς, ἐφ᾽ ἡμᾶς, ἐκθλίψει τοῦ ι, καὶ τροπῇ τοῦ π, εἰς φ, γίνεται ἐφ᾽ ἡμᾶς. Τὸ αὐτὸ ἐν τῷ πλέκε ἑαυτὸν ἐλύχη, ἐκβολῇ τοῦ ε, καὶ τροπῇ τοῦ κ, εἰς χ, πλεχ᾽ ἑαυτόν.

## Σημείωσις.

Τὸ θ, δασὺ ἀντιστοιχεῖ τῷ ἑαυτοῦ ψιλῷ τῷ τ· τὸ δὲ φ, τῷ ἑαυτοῦ ψιλῷ τῷ π· τὸ χ, δὲ, τῷ κ· ἤγουν θεωρῶ, τεθεώρηκα· φονεύω, πεφόνευκα· χορηγέω, κεχορήγηκα.

Γίνωσκε πρὸς τούτοις, ὅτι ἡ μία συγγένεια τῶν προειρημένων ἀφώνων· οἷον β, π, φ, ποιεῖ τὴν αην συζυγίαν τῶν βαρυτόνων ῥημάτων. ἡ δὲ ἄλλη συγγένεια, ἤγουν γ, κ, χ, ποιεῖ τὴν βαν συζυγίαν· ἡ δὲ ἄλλη συγγένεια, ἤγουν δ, θ, τ, ποιεῖ τὴν γην συζυγίαν. Ὁμοίως δὲ τὸ ζ, καὶ δύο σσ, ποιεῖ τὴν δην συζυγίαν. τὰ δὲ τέσσαρα ἀμετάβολα, ἤγουν λ, μ, ν, ρ, ποιεῖ τὴν εην, ἡ δὲ ϛη, συζυγία τῶν αὐτῶν βαρυτόνων ῥημάτων διὰ καθαροῦ τοῦ ω, γίνεται.

Ἰστέον ἔτι, ὅτι τὰ ἐννέα νῦν ῥηθέντα λέγονται ἄφωνα, οὐ διὰ τὸ μηδεμίαν μηδαμῶς ἔχειν φωνήν, ἀλλὰ διὰ τὸ κατὰ τὸ τέλειον τῆς φωνῆς τόσον ἀναλόγως ἐλαττοῦσθαι ἀπὸ τῶν ἡμιφώνων, ὅσον

τὰ